iſſet vir: accepit vxorẽ Annã de tri
bu ſua genuitq; ex ea filiũ nomen
ſuũ imponẽs ei: quem ab ĩfantia ti
mere deũ docuit: & abſtinere ab oĩ
pctõ. Igitur duꝫ per captiuitatẽ de
ueniſſet cũ vxore ſua & filio in ciui
tatem niniuem cum oĩ tribu ſua: &
cum oẽs ederẽt ex cibis gentiliuꝫ:
iſte cuſtodiuit aĩaꝫ ſuã: & nunq̃ cõ
taminatꝰ eſt in eſcis eoruꝫ. Et q̃m
memor fuit dñi in toto corde ſuo:
dedit illi deus gratiam in cõſpectu
Salmanaſar regis: & dedit illi pote
ſtatẽ quocunq; vellet ire habẽs li=
bertateꝫ quęcũq; facere voluiſſet.
Pergebat eñi per oẽs qui erãt in ca
ptiuitate: & monita ſalutis dabat
eis. Cuꝫ aũt veniſſet in Rages ciui
tatem medorũ & ex his quibus ho
noratus fuerat a rege habuiſſet de
cẽ talenta argẽti: et cũ in multa tur
ba gñis ſui Gabelũ egentẽ videret
qui erat ex tribu eiꝰ: ſub chirogra
pho dedit illi memoratũ põdus ar
gẽti. Poſt multum vero tp̃is mor=
tuo ſalmanaſar rege cum regnaret
Sennacherib filius eius ꝓ eo & fili
os Iſrael exoſos haberet in conſpe
ctu ſuo: Tobias cotidie pergebat
per oẽm cognationem ſuam & cõ
ſolabatur eos diuidebatq; vnicuiq;
ꝓut poterat de facultatibꝰ ſuis. Eſu
rientes alebat: nudiſq; veſtimenta

mam decimã dabam filiis aaron mi=
την δεκάτην ἐδίδουν τοῖς υἱοῖς ἀαρὼν τοῖς θε
niſtrantibus in hieruſalẽ. at ſecundam deci
ραπεύουσιν ἐν ἱλῆμ. τὴν δὲ δευτέραν δεκά
mam vendebã: ⁊ ibam ⁊ expẽ
την ἀπεπρατιζόμην, καὶ ἐπορευόμην καὶ ἐδα
debam illa in hieruſalẽ ꝑ ſingulos annos.
πάνων αὐτὰ ἐν ἱλῆμ καθ' ἕκαστον ἐνιαυτόν.
⁊ tertiam dabam q̃bus cõueniebat: ſicut
καὶ τὴν τρίτην ἐδίδουν οἷς καθήκει, καθὼς
p̃cepat debbora mater patris
ἐνετείλατο δεββώρα ἡ μήτηρ τοῦ πατρός
mei: quia orphanus relictus ſum a pa
μου, διότι ὀρφανὸς κατελείφθην ὑπὸ τοῦ πα
tre meo. ⁊ cuꝫ factus eſſẽ vir: accepi an
τρός μου. καὶ ὅτε ἐγενόμην ἀνήρ, ἔλαβον ἄν
nam vxorẽ de ſemine familie
ναν γυναῖκα ἐκ τοῦ σπέρματος τῆς πατριᾶς
noſtre: ⁊ genui ex ea tobiã: ⁊ qñ
ἡμῶν, καὶ ἐγέννησα ἐξ αὐτῆς τωβίαν, καὶ ὅτε
captiuꝰ ductꝰ fui in niniuẽ: oẽs fra
ᾐχμαλωτίσθην εἰς νινευΐ, πάντες οἱ ἀδελ
tres mei ⁊ q̃ de gñe meo: edebãt de
φοί μου καὶ οἱ ἐκ τοῦ γένους μου, ἤσθιον ἐκ τῶν
panibus gẽtiliũ. ego vero cuſtodiui ani
ἄρτων τῶν ἐθνῶν. ἐγὼ δὲ συνετήρησα τὴν ψυ
mã meaꝫ ne manducarẽ: q̃a memor fui de
χήν μου μὴ φαγεῖν, καθότι ἐμεμνήμην τοῦ θε
i in tota anima mea: ⁊ dedit altiſſimus
οῦ ἐν ὅλῃ τῇ ψυχῇ μου, καὶ ἔδωκεν ὁ ὕψιστος
gratiã ⁊ formã ĩ cõſpectu enemeſſari: ⁊
χάριν καὶ μορφὴν ἐνώπιον ἐνεμεσσάρου, καὶ ἤ
fui eius emptor. ⁊ ꝑfectus ſum in
μην αὐτοῦ ἀγοραστής. καὶ ἐπορευόμην εἰς τὴν
mediã. ⁊ tradidi gabelo fra
μηδίαν. καὶ παρεθέμην γαβαήλῳ τῷ ἀδελ
tri gabrie in rages medie argenti
φῷ γαβρία ἐν ῥάγοις τῆς μηδίας ἀργυρίου
talenta decẽ: ⁊ cũ mortuus eſſet enemeſſa
τάλαντα δέκα, καὶ ὅτε ἀπέθανεν ἐνεμέσσα
rus: regnauit ſennacherib filius eius pro
ρος, ἐβασίλευσε σενναχηρεὶβ ὁ υἱὸς αὐτοῦ ἀντ'
eo. ⁊ vie eius ceſſauerunt. ⁊ nõ ã=
αὐτοῦ. καὶ αἱ ὁδοὶ αὐτοῦ ἠκατέστησαν. καὶ οὐκέ
plius potui ire in mediam. ⁊
τι ἠδυνήθην πορευθῆναι εἰς τὴν μηδίαν. καὶ
in diebus enemeſſari elemoſynas
ἐν ταῖς ἡμέραις ἐνεμεσσάρου ἐλεημοσύνας
multas faciebã fratribus meis. pa
πολλὰς ἐποίουν τοῖς ἀδελφοῖς μου. τοὺς ἄρ
nes meos dabam eſurientibus: ⁊ veſti
τους μου ἐδίδουν τοῖς πεινῶσι, καὶ τὰ ἱμά
mẽta mea nudis. ⁊ ſi quẽpiã de gñe
τιά μου τοῖς γυμνοῖς. καὶ εἴ τινα ἐκ τοῦ γένους
meo videbã mortuum ⁊ ꝓiectum in
μου ἐθεώρουν τεθνηκότα καὶ ἐρριμμένον ἐπὶ τοῦ
muro in niniue: ſepeliebã eum: ⁊ ſi quẽ
τείχους εἰς νινευΐ, ἔθαπτον αὐτόν, καὶ εἴ τι
piã occidit ſennacherib rex qñ
να ἀπέκτεινε σενναχηρεὶβ ὁ βασιλεὺς ὅτε

venit fugiens de iudea: ſepeliui eum
ἦλθε φεύγων ἐκ τῆς ἰουδαίας, ἔθαψα αὐτὸν
furatus. multos em̄ ꝑdidit in fu
κλέπτων. πολλοὺς γὰρ ἀπώλεσεν ἐν τῷ θυ
rore ſuo. ⁊ queſita ſunt a rege
μῷ αὐτοῦ. καὶ ἐζητήθη ὑπὸ τοῦ βασιλέως τὰ
corpora: ⁊ nō ſunt iuēta. pergens āt vnus
σώματα, καὶ οὐχ εὑρέθη. πορευθεὶς δὲ εἷς
nininitarū: manifeſtauit regi de
τῶν νινευιτῶν, ὑπέδειξε τῷ βασιλεῖ περὶ
me ꝙ ſepeliebam eos. ⁊ abſcōdit ſū. co
ἐμοῦ ὅτι ἔθαπτον αὐτούς. καὶ ἐκρύβην. ἐπι
gnoſcēs āt ꝙ queror vt moriar: timens
γνοὺς δὲ ὅτι ζητοῦμαι ἀποθανεῖν, φοβηθεὶς
ſeceſſi. ⁊ direpte ſunt oēs ſubſtā
ἀνεχώρησα. καὶ διηρπάγη πάντα τὰ ὑπάρ
tie mee: ⁊ nō eſt relictum mihi quicꝗ̄:
χοντά μου, καὶ οὐ κατελείφθη μοι οὐδέν,
preter annam vxorem meā ⁊ tobiam
πλὴν ἄννας τῆς γυναικός μου καὶ τωβίου
filiū meū. ⁊ nō trāſierūt dies quinquagi
τοῦ υἱοῦ μου. καὶ οὐ διῆλθον ἡμέραι πεντήκον
taquinq;: vſq; quo occiderūt eum duo
τα πέντε, ἕως οὗ ἀπέκτειναν αὐτὸν οἱ δύο
filii eius: ⁊ fugerūt in mōtes ararat. ⁊ re
υἱοὶ αὐτοῦ, καὶ ἔφυγον εἰς τὰ ὄρη ἀραράτ. καὶ ἐ
gnauit achirdonus filius eius ꝓ e
βασίλευσεν ἀχειρδωνὸς υἱὸς αὐτοῦ ἀντ᾿ αὐ
o. ⁊ cōſtituit achiacharuȝ anael filiū fra=
τοῦ. καὶ ἔταξεν ἀχιάχαρον ἀναὴλ τὸν υἱὸν τοῦ
tris mei ſuꝑ oēm computationē
ἀδελφοῦ μου ἐπὶ πᾶσαν τὴν ἐκλογιστίαν τοῦ
patris ſui: ⁊ ſuꝑ omnem guberna
πατρὸς αὐτοῦ, καὶ ἐπὶ πᾶσαν τὴν διοίκη=
tionē. ⁊ orauit achiacharus pro me: ⁊
σιν. καὶ ἠξίωσεν ἀχιάχαρος περὶ ἐμοῦ, καὶ
veni in niniuē. achiacharus āt erat pincerna
ἦλθον εἰς νινευί. ἀχιάχαρος δὲ ἦν οἰνοχόος
⁊ ab annulo ⁊ gubernator ⁊ cōpu
καὶ ἀπὸ τοῦ δακτυλίου καὶ διοικητὴς καὶ ἐκλο
tator. ⁊ cōſtituit eum achirdonus
γιστής. καὶ κατέστησεν αὐτὸν ὁ ἀχειρδωνὸς ἐκ
ſecundo. erat āt patruelis meus. cum āt re=
δευτέρας. ἦν δὲ ἐξάδελφός μου. ὅτε δὲ κα=
dii in domum meā: ⁊ reſtituta ē mihi an
τῆλθον εἰς τὸν οἶκόν μου, καὶ ἀπεδόθη μοι ἄν
na vxor mea: ⁊ tobias filius meus.
να ἡ γυνή μου, καὶ τωβίας ὁ υἱός μου. Ca. 2.

IN quinquageſimo feſto: quod eſt ſanctū
ἐν τῇ πεντηκοστῇ τῇ ἑορτῇ, ἥ ἐστιν ἁγία
ſeptē hebdomadaꝝ: factū ē prādiū bonū mihi.
ἑπτὰ ἑβδομάδων, ἐγενήθη ἄριστον καλόν μοι.
⁊ accubui vt māducarē. ⁊ vidi cibaria
καὶ ἀνέπεσα τοῦ φαγεῖν. καὶ ἐθεασάμην ὄψα
multa. ⁊ dixi filio meo: vade adduc
πολλά. καὶ εἶπα τῷ υἱῷ μου, βάδιζε ἄγαγε
quēcūq; iueneris de fratribꝰ noſtris idigētē: q
ὃν ἐὰν εὕρῃς τῶν ἀδελφῶν ἡμῶν ἐνδεῆ, ὃς
memor eſt dn̄i. ⁊ ecce expecto te. ⁊ ve
μέμνηται τοῦ κυρίου. καὶ ἰδοὺ μένω σε. καὶ ἐλ
niēs dixit: pater vnus de gn̄e noſtro
θὼν εἶπε, πάτερ εἷς ἐκ τοῦ γένους ἡμῶν ἐ=
ſtrāgulatus ꝓiectus ē in platea. ⁊ ego
στραγγαλωμένος ἔρριπται ἐν τῇ ἀγορᾷ. κἀγὼ
anteꝗ̄ guſtarem ego: exiliens tuli
πρὶν ἢ γεύσασθαί με, ἀναπηδήσας ἀνειλό
eū in quādā domū: quouſq; occideret ſol.
μην αὐτὸν εἴς τι οἴκημα, ἕως ὅτου ἔδυ ὁ ἥλι
⁊ reuerſus lotus ſum ⁊ māducaui
ος. καὶ ἐπιστρέψας ἐλουσάμην καὶ ἤσθιον
panē meū in triſtitia. ⁊ memor fui pro=
τὸν ἄρτον μου ἐν λύπῃ. καὶ ἐμνήσθην τῆς προ

ꝓhibebat: & mortuis atq; occiſis ſepul=
turā ſollicitꝰ exhibebat. Deniq; cū re
uerſus eſſet rex ſennacherib fugiēs a
iudea plagā quā circa eū fecerat deus
ꝓpt blaſphemiā ſuā: & iratus multos
occideret ex filiis iſrael tobias ſepelie
bat corpa eorū. At vbi nūciatū eſt re
gi: iuſſit eū occidi: & tulit oēm ſubſtā
tiā eius. Tobias vero cū filio ſuo & cū
vxore fugiens nudus latuit: qa multi
diligebāt eū. Poſt dies vero. xlv. occi=
derūt regē filii ipſius. Et reuerſus eſt
tobias in domū ſuā oīſq; facultas eius
reſtituta eſt ei. Ca. 2.

POſt hec vero cū eēt dies feſtꝰ dn̄i
& factū eſſet prandiū bonū in do
mo tobie: dixit filio ſuo. Vade & ad=
duc aliquos de tribu nr̄a timētes deū
vt epulentur nobiſcū. Cūq; abiſſet re
uerſus nūciauit ei vnū ex filiis iſrl̄ iu=
gulatū iacere ī platea. Statiq; exiliēs
de accubito ſuo relinqns prandiū ie=
iunus ꝑuenit ad corpus tollēſq; illud
portauit ad domū ſuā occulte vt dum
ſol occubuiſſet caute ſepeliret eū. cū
q; occultaſſet corpꝰ māducauit panē
cū luctu & tremore memorās illū ſer
monē quē dixit dn̄s ꝑ amos ꝓphetā.
Dies feſti vr̄i cōuertētur in lamētatio
nē & luctū. Cū vero ſol occubuiſſet a
biit & ſepeliuit eū: arguebāt āt eū oēs
ꝓximi eius: dicentes. Iā huius rei cau
ſa interfici iuſſus es: & vix effugiſti
mortis imperiū: & iterū ſepelis mor=
tuos. Sed tobias plus timēs deū q̄ re
geȝ rapiebat corpa occiſorū & occul
tabat in domo ſua: & mediis noctibꝰ
ſepeliebat ea. Cōtigit āt vt q̄dam die
fatigatus a ſepultura veniēs domū ia
ctaſſet ſe iuxta parietē & obdormiſſȝ
& ex nido hirūdinū dormiēti illi cali
da ſtercora iciderēt ſuꝑ oculos eius fi
eretq; cecus. Hāc āt tētationeȝ ideo ꝑ
miſit dn̄s euenire illi: vt poſteris dare
tur exemplū patiē eius ſicut & ſancti
iob. Nā cū ab infantia ſua ſp deum ti
muerit & mādata eiꝰ cuſtodierit: nō ē
cōtriſtatus contra deū ꝙ plaga cecita
tis euenerit ei: ſȝ imobilis in dei timo
re ꝑmāſit: agēs gr̄as deo oībus diebꝰ
vite ſue. Nam ſicut beato iob inſul=
tabāt reges: ita iſti parētes & cognati
eiꝰ irridebāt vitā eius: dicētes. Vbi eſt
ſpes tua ꝓ q̄ elemoſynas & ſepulturaſ
faciebas. Tobias vero icrepabat eos:
dicēs. Nolite ita loqui qm̄ filii ſctōrū
ſumus: & vitā illā expectamꝰ: quā deꝰ
daturus eſt his q fidem ſuā nunq̄ mu
tant ab eo. Anna vero vxor eius ibat
ad opus textrinū cotidie: & de labore
manuū ſuarū victū quē cōſeq potuiſ
ſet deferebat. Vn̄ factū eſt: vt hedū ca
prarū accipiēs detuliſſet domi. Cuiꝰ
cū vocē balātis vir eiꝰ audiſſet: dixit:
videte ne forte furtiuꝰ ſit. Reddite eū
dn̄is ſuis: qa nō licet nobis aut edere
ex furto aliqd aut cōtingere. Ad hec
vxor eius irata rn̄dit. Manifeſte vana
facta ē ſpes tua & elemoſyne tue īmō
apparuerūt. Atq; his & aliis huiuſce
modi verbis exprobrabat ei.

phetie amos ſicut dixit: cōuertentur
φητείας ἀμὼς καθὼς εἶπε, στραφήσονται
feſtiuitates veſtre i luctū: ⁊ omnes
αἱ ἑορταὶ ὑμῶν εἰς πένθος, καὶ πᾶσαι αἱ
leticie veſtre in lamētationē. ⁊ fleui
εὐφροσύναι ὑμῶν εἰς θρῆνον. καὶ ἔκλαυσα.
⁊ cum occidit ſol: abii: ⁊ effodiēs ſepe
καὶ ὅτε ἔδυ ὁ ἥλιος, ᾠχόμην, καὶ ὀρύξας ἔθα
liui eum. ⁊ ꝓpinqui deridebāt dicen=
ψα αὐτόν. καὶ οἱ πλησίον ἐπεγέλων λέγον
tes: nō adhuc timet hic interfici pro
τες, οὐκέτι φοβεῖται οὗτος φονευθῆναι περὶ
negocio iſto: ⁊ fugit: ⁊ ec=
τοῦ πράγματος τούτου, καὶ ἀπέδρα, καὶ ἰ=
ce iterum ſepelit mortuos. ⁊ in ca=
δοὺ πάλιν θάπτει τοὺς νεκρούς. καὶ ἐν αὐ=
dem nocte dormiui fedatus iuxta
τῇ τῇ νυκτὶ ἐκοιμήθην μεμιαμμένος παρὰ
parietem aule. ⁊ facies mea
τὸν τοῖχον τῆς αὐλῆς. καὶ τὸ πρόσωπόν μου
diſcooperta erat. ⁊ nō ſciebā ꝙ paſſerculi
ἀνακάλυπτον ἦν. καὶ οὐκ ᾔδειν ὅτι στρουθία
in pariete erāt. ⁊ oculis meis ap
ἐν τῷ τοίχῳ ἐστί. καὶ τῶν ὀφθαλμῶν μου ἀνε
tis: imiſerūt ſtercꝰ paſſerculi calidū in
ῳγότων, ἀφώδευσαν τὰ στρουθία θερμὸν εἰς
oculos meos. ⁊ facte ſunt albugi=
τοὺς ὀφθαλμούς μου. καὶ ἐγενήθη λευκώμα=
nes in oculis meis. ⁊ abii
τα ἐν τοῖς ὀφθαλμοῖς μου. καὶ ἐπορεύθην
ad medicos: ⁊ nō ꝓfuerunt mihi. achia
πρὸς ἰατρούς, καὶ οὐκ ὠφέλησάν με. ἀχιά=
charus āt nutriebat me: quouſq; ꝓfectus ſū in
χαρος δὲ ἔτρεφέ με, ἕως οὗ ἐπορεύθην εἰς
elymaida. ⁊ vxor mea anna ſeruiebat
τὴν ἐλυμαΐδα. καὶ ἡ γυνή μου ἄννα ἠριθεύετο
in muliebribus: ⁊ mittebat domi
ἐν τοῖς γυναικείοις, καὶ ἀπέστελλε τοῖς κυ=
nis. ⁊ retribuerunt ei ⁊ ipſi mer=
ρίοις. καὶ ἀπέδωκαν αὐτῇ καὶ αὐτοὶ τὸν μι=
cedē: addentes ēt hedum. cū āt veniſſȝ
σθόν, προσδόντες καὶ ἔριφον. ὅτε δὲ ἦλθε
ad me: cepit balare. ⁊ dixi ei: vn
πρός με, ἤρξατο κράζειν. καὶ εἶπον αὐτῇ, πό
de hedulus: nūqd furtiuus eſt: redde
θεν τὸ ἐρίφιον, μὴ κλεψιμαῖον ἐστίν; ἀπόδος
illum dn̄is. nō em̄ licitum eſt man
αὐτὸ τοῖς κυρίοις. οὐ γὰρ θεμιτόν ἐστι φα=
ducare furtiuum. ipſa āt dixit: dono datus
γεῖν κλεψιμαῖον. ἡ δὲ εἶπε, δῶρον δέδο
eſt mihi ſupra mercedē. ⁊ nō credebam
ταί μοι ἐπὶ τῷ μισθῷ. καὶ οὐκ ἐπίστευον
illi. ⁊ dicebā reddere illum
αὐτῇ. καὶ ἔλεγον ἀποδιδόναι αὐτὸ τοῖς
dn̄is. ⁊ erubeſcebā ad eam. illa āt
κυρίοις. καὶ ἠρυθρίων πρὸς αὐτήν. ἡ δὲ
rn̄dens mihi dixit: vbi ſunt ele=
ἀποκριθεῖσά μοι εἶπε, ποῦ εἰσὶν αἱ ἐλε
moſyne tue ⁊ iuſticie tue:
ημοσύναι σου καὶ αἱ δικαιοσύναι σου;
ecce cognita omnia tecum.
ἰδοὺ γνωστὰ πάντα μετὰ σοῦ. Ca. 3.

ET triſtatus fleui. ⁊ ora
Καὶ λυπηθεὶς ἔκλαυσα. καὶ προ=
ui cum dolore dicēs: iuſtus es
σηυξάμην μετ᾿ ὀδύνης λέγων, δίκαιος εἶ
dn̄e ⁊ omnia opera tua. ⁊ om
κύριε καὶ πάντα τὰ ἔργα σου. καὶ πᾶ
nes vie tue mīa ⁊ veritas.
σαι αἱ ὁδοί σου ἐλεημοσύνη καὶ ἀλήθεια.
⁊ iudiciū verum ⁊ iuſtum tu iudicas
καὶ κρίσιν ἀληθινὴν καὶ δικαίαν σὺ κρίνεις

© Biblioteca Nacional de España

in eternũ. memor eſto mei ⁊ reſpice
εἰς τὸν αἰῶνα. μνήσθητί μου καὶ ἐπίβλεψον
in me. ne me vlciſcaris ob pctã
ἐπ' ἐμέ. μή με ἐκδικήσῃς ταῖς ἁμαρτίαις
mea ⁊ ignorantias meas: ⁊ pa
μου καὶ τοῖς ἀγνοήμασί μου, καὶ τῶν πατέ=
trũ meorũ q̃ peccauerũt corã te. nõ obedie=
ρων μου οἳ ἥμαρτον ἐνώπιόν σου. παρήκου=
runt.n. p̄ceptis tuis. ⁊ dediſti nos
σαν γὰρ τῶν ἐντολῶν σου. καὶ ἔδωκας ἡμᾶς
in direptionem ⁊ captiuitatẽ ⁊ mor=
εἰς διαρπαγὴν καὶ αἰχμαλωσίαν καὶ θάνα
tem ⁊ ꝑabolam improperii oĩbus ĩ q̃b⁹
τον καὶ παραβολὴν ὀνειδισμοῦ πᾶσιν οἷς
diſperſi ſumus. ⁊ nũc multa iudicia
ἐσκορπίσμεθα. καὶ νῦν πολλαὶ αἱ κρίσεις
tua ſunt ⁊ vera. de me fac pro
σου εἰσὶ καὶ ἀληθιναί. ἐξ ἐμοῦ ποίησον ὑπὲρ
pctĩs meis ⁊ patrũ meorũ:
τῶν ἁμαρτιῶν μου καὶ τῶν πατέρων μου,
q̃m non fecimus p̄cepta tua. non eñ
ὅτι οὐκ ἐποιήσαμεν τὰς ἐντολάς σου. οὐ γὰρ
ambulauim⁹ in veritate corã te. ⁊ nũc
ἐπορεύθημεν ἐν ἀληθείᾳ ἐνώπιόν σου. καὶ νῦν
ſecundũ placitũ corã te fac me=
κατὰ τὸ ἀρεστὸν ἐνώπιόν σου ποίησον μετ' ἐ=
cum. p̄cipe recipere ſpũm meũ:
μοῦ. ἐπίταξον ἀναλαβεῖν τὸ πνεῦμά μου,
vt pereã ⁊ fiam terra. q̃m vti=
ὅπως ἀπολυθῶ καὶ γένωμαι γῆ. διότι λυσι
le mihi mori q̃ viuere: q̃a opprobria
τελές μοι ἀποθανεῖν ἢ ζῆν, ὅτι ὀνειδισμοὺς
mendoſa audiui: ⁊ triſtitia eſt multa in
ψευδεῖς ἤκουσα, καὶ λύπη ἐστὶ πολλὴ ἐν ἐ=
me. p̄cipe abſolui me de neceſſitate
μοί. ἐπίταξον ἀπολυθῆναί με τῆς ἀνάγκης
iam in eternũ locũ. ne auertas
ἤδη εἰς τὸν αἰώνιον τόπον. μὴ ἀποστρέψῃς τὸ
faciẽ tuam a me. in eadem die cõ=
πρόσωπόν σου ἀπ' ἐμοῦ. ἐν τῇ αὐτῇ ἡμέρᾳ συ
tigit filie raguelis ſarre in ecbata=
νέβη τῇ θυγατρὶ ῥαγουὴλ σάρρᾳ ἐν ἐκβατά
nis medie: et hanc opprobrari ab
νοις τῆς μηδίας, καὶ ταύτην ὀνειδισθῆναι ὑπὸ
ancillis patris ſui: q̃m erat tradita vi
παιδισκῶν τοῦ πατρὸς αὐτῆς, ὅτι ἦν δεδομένη ἀν
ris ſeptem: ⁊ aſmodeus neq̃
δράσιν ἑπτά, καὶ ὁ ἀσμοδαῖος τὸ πονηρὸν
demoniũ occidit eos: anteq̃ eſſent
δαιμόνιον ἀπέκτεινεν αὐτούς, πρὶν ἢ γενέσθαι
ipſi cũ ea vt in mulierib⁹. ⁊ dixerũt
αὐτοὺς μετ' αὐτῆς ὡς ἐν γυναιξί. καὶ εἶπον
ei: nõ intelligis q̃ ſuffocaueris vi=
αὐτῇ, οὐ συνιῇς ἀποπνίγουσα τοὺς ἄν=
ros tuos? iam ſeptem viros habuiſti:
δράς σου; ἤδη ἑπτὰ ἄνδρας ἔσχες,
⁊ vnius eorũ nõ es noĩata. q̃re nos ver
καὶ ἑνὸς αὐτῶν οὐκ ὠνομάσθης. τί ἡμᾶς μα
beras pro eis? ſi mortui ſunt: vade
στιγοῖς περὶ αὐτῶν; εἰ ἀπέθανον, βάδιζε
cum illis: ne videamus ex te filiũ aut fili=
μετ' αὐτῶν, μὴ ἴδοιμέν σου υἱὸν ἢ θυγα=
am in eternũ. hec cũ audiſſet: triſta
τέρα εἰς τὸν αἰῶνα. ταῦτα ἀκούσασα, ἐλυ
ta eſt valde: vt ſuffocaretur: ⁊ di=
πήθη σφόδρα, ὥστε ἀπάγξασθαι, καὶ εἶ=
xit: vna q̃dẽ ſum patri meo. ſi fece
πε, μία μέν εἰμι τῷ πατρί μου. ἐὰν ποιή=
ro hoc: improperiũ ipſi eſt: ⁊ ſenectã e=
σω τοῦτο, ὄνειδος αὐτῷ ἐστι, καὶ τὸ γῆρας αὐ
ius deducã cũ dolore in ĩfernũ. ⁊ dep̄cata ẽ
τοῦ κατάξω μετ' ὀδύνης εἰς ᾅδου. καὶ ἐδεήθη

TVnc Tobias ingemuit & cepit
orare cũ lachrymis dicẽs. Iuſt⁹
es dñe: & oĩa iudicia tua vera ſunt: &
oẽs vie tue mĩa & veritas & iudiciũ.
Et nunc dñe memor eſto mei: & ne
vindictã ſumas de pctĩs meis: neq̃
reminiſcaris delicta mea vel parẽtũ
meorũ. Q̃m nõ obediuim⁹ p̄ceptis
tuis ideo traditi ſumus ĩ direptionẽ
& captiuitatẽ & morte & in fabulã &
in ĩproperiũ oĩbus natiõbus in qui
bus diſpſiſti nos. et nũc dñe magna
iudicia tua q̃a nõ egimus ſecundũ p̄
cepta tua: & nõ ambulauimus ſince
riter corã te. Et nũc dñe ſecũdũ vo
lũtatem tuã fac mecũ & p̄cipe in pa
ce recipi ſpm̃ meũ. Expedit.n. mihi
mori magis q̃ viuere. Eadẽ igitur
die cõtigit vt ſara filia raguelis in ra
ges ciuitate medorũ: & ipa audiret
improperiũ ab vna ex ãcillis patris
ſui q̃m tradita fuerat ſeptẽ viris: &
demoniũ noĩe aſmodeus occiderat
eos mox vt ingreſſi fuiſſent ad eã.
Ergo cũ ꝓ culpa ſua increparet pu
ellã: rñdit ei dicẽs. Amplius ex te nõ
videam⁹ filiũ aut filiã ſup trã interfe=
ctrix virorũ tuorũ. nũqd & occidere
me vis ſicut etiã occidiſti ſeptẽ vi=
ros? Ad hãc vocẽ p̄rexit ĩ ſupius cu
biculum domus ſue: & tribus dieb⁹
& tribus noctibus nõ manducauit
neq̃ bibit: ſed in orõne pſiſtẽs cũ la
chrymis dep̄cabatur deũ vt ab iſto
ĩpropio liberaret eã. Factũ eſt ãt die
tertia dũ cõpleret orõnem: bñdicẽs
dñm dixit. Bñdictũ eſt nomen tuũ
deus pr̃m nr̃orum: q cum iratus fue
ris mĩaꝫ facies & in tp̄e tribulatiõis
pctã dimittis his q inuocant te. Ad
te dñe faciem meam cõuerto: ad te
oculos meos erigo. Peto dñe vt de
vĩculo ĩproperii huius abſoluas me
aut certe deſup terram eripias me.
Tu ſcis dñe quia nunq̃ cõcupiui vi
rum: & mundam ſeruaui aĩam meã
ab oĩ cõcupiſcentia. Nunq̃ cum lu=
dentibus miſcui me: neq̃ cum his q
in leuitate ambulant participeꝫ me
prebui. Virum autem cum timore
tuo non cum libidine mea conſenſi
ſuſcipere. Et aut ego indigna fui il=
lis: aut illi forſitan mihi non fuerunt
digni: quia forſitan viro alii conſer
uaſti me. Non eſt eĩ in hoĩs poteſta=
te cõſilium tuum. Hoc autem ꝓ cer
to habet omnis qui colit te: quia vi=
ta eius ſi in probatione fuerit coro=
nabitur: ſi autem in tribulatione fu
erit: liberabitur: & ſi in corruptione
fuerit ad miſericordiam tuam veni
re licebit. Non enim delectaris in
perditiõibus noſtris: quia poſt tem
peſtatem tranquillum facis: & poſt
lachrymationem & fletum exulta=
tionem infundis. Sit nomen tu=
um deus Iſrael benedictum in ſe=
cula. In illo tempore exaudite ſunt
p̄ces amborũ in cõſpetu glĩe ſũmi
dei. Et miſſus eſt ãgelus dñi ſctũs ra
phael vt curaret eos ambos q̃rũ vno
tp̄e ſũt orões ĩ cõſpectu dñi recitate.

ad feneſtrã. ⁊ dixit: benedictus es dñe
πρὸς τῇ θυρίδι. καὶ εἶπεν, εὐλογητὸς εἶ κύριε
deus meus: ⁊ bñdictũ nomen glorie
ὁ θεός μου, καὶ εὐλογητὸν τὸ ὄνομα τῆς δόξης
tue ſanctũ ⁊ honorabile ĩ ſecula. bñdi=
σου τὸ ἅγιον καὶ ἔντιμον εἰς τοὺς αἰῶνας. εὐλο
cant te oĩa opera tua in ſecu
γήσαισάν σε πάντα τὰ ἔργα σου εἰς τὸν αἰῶ
lũ. ⁊ nũc dñe oculos meos ⁊
να. καὶ νῦν κύριε τοὺς ὀφθαλμούς μου καὶ τὸ
faciem meã in te dedi. dixi vt ab
πρόσωπόν μου εἰς σὲ δέδωκα. εἶπον ἀπο
ſoluas me de terra. ⁊ vt nõ audiã ego
λῦσαί με ἀπὸ τῆς γῆς. καὶ μὴ ἀκοῦσαί με
amplius ĩproperiũ. tu cognoſcis dñe q̃
μηκέτι ὀνειδισμόν. σὺ γινώσκεις κύριε ὅτι
munda ſum ab oĩ pctõ viri:
καθαρά εἰμι ἀπὸ πάσης ἁμαρτίας ἀνδρός,
⁊ nõ coinq̃naui nomẽ meũ neq̃ no
καὶ οὐκ ἐμόλυνα τὸ ὄνομά μου οὐδὲ τὸ ὄνο=
mẽ patris mei in terra captiuita
μα τοῦ πατρός μου ἐν τῇ γῇ τῆς αἰχμαλω
tis mee. vnigenita ſum patri meo: ⁊
σίας μου. μονογενής εἰμι τῷ πατρί μου, καὶ
non eſt ei filius q̃ ſit he=
οὐχ ὑπάρχει αὐτῷ παιδίον ὃ κληρονομή
res ei: neq̃ frater ꝓpinquus: neq̃ exi,
σει αὐτόν, οὐδὲ ἀδελφὸς ἐγγύς, οὐδὲ ὑπάρ
ſtens ei filius: vt ſeruem me e=
χων αὐτῷ υἱός, ἵνα συντηρήσω ἐμαυτὴν αὐ
i vxorẽ. iam perierunt mihi ſeptẽ. ad q̃d
τῷ γυναῖκα. ἤδη ἀπώλοντό μοι ἑπτά. ἵνα
mihi reliquũ viuere? ⁊ niſi videtur tibi iter=
τί μοι λοιπὸν ζῆν; καὶ εἰ μὴ δοκεῖ σοι ἀπο=
ficere me: p̄cipe reſpicere in me
κτεῖναί με, ἐπίταξον ἐπιβλέψαι ἐπ' ἐμὲ
⁊ miſereri mei: ⁊ nõ audire me ãplius
καὶ ἐλεῆσαί με, καὶ μὴ ἀκοῦσαί με μηκέτι
improperiũ. ⁊ audita eſt oratio am
ὀνειδισμόν. καὶ εἰσηκούσθη ἡ προσευχὴ ἀμ
borum in cõſpectu glorie ſummi
φοτέρων ἐνώπιον τῆς δόξης τοῦ μεγάλου
dei. ⁊ miſſus eſt raphael vt curaret
θεοῦ. καὶ ἀπεστάλη ῥαφαὴλ ἰάσασθαι τοὺς
duos: tobie vt decorticaret albugines: ⁊
δύο, τωβὴτ λεπίσαι τὰ λευκώματα, καὶ
ſarram filiã raguel vt daret tobie
σάρραν τὴν τοῦ ῥαγουὴλ δοῦναι τῷ τωβίᾳ
filio tobie vxorẽ: ⁊ ligaret aſmo
τῷ υἱῷ τωβὴτ γυναῖκα, καὶ δῆσαι ἀσμο=
deum neq̃ demonium: q̃m ad to
δαῖον τὸ πονηρὸν δαιμόνιον, διότι τῷ τω
biã attinet hereditare eam. in
βίᾳ ἐπιβάλλει κληρονομῆσαι αὐτήν. ἐν
eodẽ tp̄e reuerſus tobias: introĩ
αὐτῷ τῷ καιρῷ ἐπιστρέψας τωβήτ, εἰσῆλ
uit in domũ ſuã. ⁊ ſarra filia rague
θεν εἰς τὸν οἶκον αὐτοῦ. καὶ σάρρα ἡ τοῦ ῥαγου
lis deſcẽdit de ſuperiori cubiculo ſuo.
ὴλ κατέβη ἐκ τοῦ ὑπερῴου αὐτῆς. Ca. 4.

IN die illa: recordatus ẽ tobias de
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐμνήσθη τωβὴτ περὶ
argento quod tradidit gabelo in rages
τοῦ ἀργυρίου οὗ παρέθετο γαβαήλῳ ἐν ῥάγοις
medie. ⁊ dixit intra ſe: ego ĩ pe
τῆς μηδίας. καὶ εἶπεν ἐν ἑαυτῷ, ἐγὼ ᾔτησά
tii mortẽ. cur nõ voco tobiã filiũ meũ
μην θάνατον. τί οὐ καλῶ τωβίαν τὸν υἱόν μου
vt ei oñdã anteq̃ moriar ego? ⁊ vocãs
ἵνα αὐτῷ δείξω πρὶν ἀποθανεῖν με; καὶ καλέσ
eum dixit: fili ſi mortuus fuero: ſepeli me
αὐτὸν εἶπε, παιδίον ἐὰν ἀποθάνω, θάψον με

© Biblioteca Nacional de España

τ ne deſpereris matrem tuā. honora
καὶ μὴ ὑπερίδης τὴν μητέρα σου. τίμα
eam oībus diebus vite tue. τ
αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. καὶ
fac quod placitū ē ei. τ ne triſticia afficias
ποίει τὸ ἀρεστὸν αὐτῇ. καὶ μὴ λυπήσῃς αὐ=
eā. memēto fili: φ multa peri=
τήν. μνήσθητι παιδίον, ὅτι πολλοὺς κινδύ
cula vidit ꝓpter te in vtero. cū
νους ἑώρακεν ἐπὶ σοὶ ἐν τῇ κοιλίᾳ. ὅταν
mortua fuerit: ſepeli eā apud me in vno ſe=
ἀποθάνῃ, θάψον αὐτὴν παρ' ἐμοὶ ἐν ἑνὶ τά=
pulchro. oībus diebus fili dñi dei
φῳ. πάσας τὰς ἡμέρας παιδίον κυ τοῦ θεοῦ
noſtri mēor eſto. τ ne velis pecca=
ἡμῶν μνημόνευε. καὶ μὴ θελήσῃς ἁμαρτά=
re τ tranſgredi precepta eius.
νειν καὶ παραβῆναι τὰς ἐντολὰς αὐτοῦ.
τ iuſticiā fac oībus diebus
καὶ δικαιοσύνην ποίει πάσας τὰς ἡμέρας
vite tue. τ ne ambules viis
τῆς ζωῆς σου. καὶ μὴ πορευθῇς ταῖς ὁδοῖς
iniqtatis: qa faciente te verita=
τῆς ἀδικίας, διότι ποιοῦντός σου τὴν ἀλήθει
tē ꝓſperitates erūt in operib⁹ tuis: τ
αν εὐοδίαι ἔσονται ἐν τοῖς ἔργοις σου, καὶ
oībus facietibus iuſtitiā. de
πᾶσι τοῖς ποιοῦσι τὴν δικαιοσύνην. ἐκ τῶν
facultatibus tuis fac elemoſynā: τ ne
ὑπαρχόντων σοι ποίει ἐλεημοσύνην, καὶ μὴ
inuideat tuus oculus in faciēdo e=
φθονησάτω σου ὁ ὀφθαλμὸς ἐν τῷ ποιεῖν ἐ=
lemoſynam. ne auertas faciem
λεημοσύνην. μὴ ἀποστρέψῃς τὸ πρόσωπόν
tuā ab omni paupere: τ a te nō
σου ἀπὸ παντὸς πτωχοῦ, καὶ ἀπὸ σοῦ οὐ=
auertetur facies dei. quēadmodū tibi
μὴ ἀποστραφῇ τὸ πρόσωπον τοῦ θεοῦ. ὡς σοι
fuerit ſecūdā multitudinē: fac ex e=
ὑπάρχει κατὰ τὸ πλῆθος, ποίησον ἐξ αὐ=
is elemoſynā. ſi paucū tibi fuerit:
τῶν ἐλεημοσύνην. ἐὰν ὀλίγον σοι ὑπάρχῃ,
iuxta paucū ne timeas facere elemoſy=
κατὰ τὸ ὀλίγον μὴ φοβοῦ ποιεῖν ἐλεημοσύ
nā. premiū. n. bonū theſaurizas tibi in
νην. θέμα γὰρ ἀγαθὸν θησαυρίζεις σεαυτῷ εἰς
diē neceſſitatis. qm̄ elemoſyna a morte
ἡμέραν ἀνάγκης. διότι ἐλεημοσύνη ἐκ θανάτου
liberat: τ nō ſinit intrare in tenebras. ὁ
ῥύεται, καὶ οὐκ ἐᾷ εἰσελθεῖν εἰς τὸ σκότος. δῶ
nū em̄ bonū eſt elemoſyna oībus
ρον γὰρ ἀγαθόν ἐστιν ἐλεημοσύνη πᾶσι τοῖς
facietibus eā corā altiſſimo. atten=
ποιοῦσιν αὐτὴν ἐνώπιον τοῦ ὑψίστου. πρόσε
de tibi fili ab oī fornicatiōe.
χε σεαυτῷ παιδίον ἀπὸ πάσης πορνείας.
τ vxorē primū accipe de ſemi=
καὶ γυναῖκα πρῶτον λάβε ἀπὸ τοῦ σπέρμα
ne patrū tuoꝝ. τ ne accipias vxo=
τος τῶν πατέρων σου. καὶ μὴ λάβῃς γυναῖ
rē extraneā: q̄ nō eſt de tribu
κα ἀλλοτρίαν, ἣ οὐκ ἔστιν ἐκ τῆς φυλῆς τοῦ
patris tui. qm̄ filii ꝓphetarū ſumus: noe
πατρός σου. διότι υἱοὶ προφητῶν ἐσμέν, νῶε
abraam iſaac τ iacob: patres no
ἀβραὰμ ἰσαὰκ καὶ ἰακώβ, οἱ πατέρες ἡ=
ſtri ab eterno: memor eſto fili: φ
μῶν ἀπὸ τοῦ αἰῶνος, μνήσθητι παιδίον, ὅτι
oēs iſti accepertūt vxores de
πάντες οὗτοι ἔλαβον γυναῖκας ἀπὸ τῶν ἀ
fratribus ſuis: τ bñdicti ſunt in
δελφῶν αὐτῶν, καὶ εὐλογήθησαν ἐν τοῖς

Capitulum quartum.

IGitur cum Tobias putaret orationem ſuam exaudiri: vt mori potuiſſet vocauit ad ſe Tobiam filium ſuum: dixitqꝫ ei. Audi fili mi verba oris mei: et ea in corde tuo quaſi fundamentum conſtrue. Cum acceperit deus animam meam: corpus meum ſepeli: & honorem habebis matri tue omnibus diebus vite eius. Mēor. n. eſſe debes que & q̄nta ꝑicula paſſa ſit ꝓpter te in vtero ſuo. Cum āt & ipſa cōpleuerit tp̄s vite ſue: ſepelias eā circa me. Oībus āt diebus vite tue in mente habeto deum: & caue ne aliq̄n pctō conſentias & ꝑtermittas ꝑcepta dei nr̄i. Ex ſubſtātia tua fac elemoſynā: & noli auertere faciem tuaꝫ ab vllo paupe. Ita. n. fiet vt nec a te auertatur facies dn̄i. quō potueris ita eſto miſericors. Si multū tibi fuerit: abūdant tribue. ſi exiguū tibi fuerit: etiam exiguū libent impartiri ſtude. Premium. n. bonū tibi theſaurizas in die neceſſitatis. qm̄ elemoſyna ab oī pctō & morte liberat: & nō patietur aīam ire in tenebras. Fiducia magna erit corā ſūmo deo elemoſyna omnibus facientibus eam. Attende tibi fili mi ab omni fornicatione: & preter vxorem tuam nūq̄ꝫ patiaris crimen ſcire. Superbiam nunquam in tuo ſenſu aut in tuo verbo dominari permittas. In ipſa enim initium ſumpſit omnis perditio. Quicunqꝫ tibi aliquid operatus fuerit: ſtatim ei mercedem reſtitue: & merces mercenarii tui apud te omnino nō remaneat. Quod ab alio oderis fieri tibi: vide ne tu aliquando alteri facias. Panem tuum cū eſurientibus et egētib⁹ comede: et de ueſtimētis tuis nudos tege. Panē tuū & vinū tuum ſuper ſepulturā iuſti conſtitue: & noli ex eo manducare & bibere cum peccatoribus. Conſilium ſemper a ſapiente perquire. Omni tempore benedic deum & pete ab eo vt vias tuas dirigat: & omnia conſilia tua in ipſo permaneant. Indico etiam tibi fili mi dediſſe me decem talenta argenti dum infantulus eſſes Gabelo in Rages ciuitate Medorum: & chirographum eius apud me habeo. Et ideo perquire quomodo ad euꝫ peruenias: & recipias ab eo ſupra memoratum pondus argenti: & reſtituas ei chirographum ſuum. Noli timere fili mi. pauperem quidem vitam gerimus: ſed multa bona habebimus ſi timuerimus deum & receſſerimus ab omni peccato & fecerimus bene.

Capitulum quintum.

filiis ſuis. τ ſemen eorū here=
τέκνοις αὐτῶν. καὶ τὸ σπέρμα αὐτῶν κληρο
ditabit terrā. τ nūc fili dilige
νομήσει γῆν. καὶ νῦν παιδίον ἀγάπα τοὺς
fratres tuos. τ nō ſupbias in
ἀδελφούς σου. καὶ μὴ ὑπερηφανεύου ἐν τῇ
corde tuo de fratribus tuis τ
καρδίᾳ σου ἀπὸ τῶν ἀδελφῶν σου καὶ τῶν
filiis τ filiabus populi tui accipere ti
υἱῶν καὶ θυγατέρων τοῦ λαοῦ σου λαβεῖν σε
bi ex eis vxorē. qm̄ in ſuper
αὐτῷ ἐξ αὐτῶν γυναῖκα. διότι ἐν τῇ ὑπερη
bia perditio τ nō ſtabilitas mul
φανίᾳ ἀπώλεια καὶ οὐ κατάστασία πολ=
ta. τ in inutilitate diminutio τ in=
λή. καὶ ἐν τῇ ἀχρειότητι ἐλάττωσις καὶ ἔν=
digētia magna. nam inutilitas mater eſt
δεια μεγάλη. ἡ γὰρ ἀχρειότης μήτηρ ἐστὶ τοῦ
famis. merces oīs hoīs: qcūqꝫ ope
λιμοῦ. μισθὸς παντὸς ἀνθρώπου, ὃς ἐὰν ἐρ
ratus fuerit tibi: apud te nō remaneat. ſed
γάσηταί σοι, παρὰ σοὶ μὴ αὐλισθήτω. ἀλ
redde ei ſtatim. τ ſi ſer=
λὰ ἀπόδος αὐτῷ παραυτίκα. καὶ ἐὰν δου
uieris deo reddetur tibi. attende
λεύσῃς τῷ θεῷ ἀποδοθήσεταί σοι. πρόσεχε
tibi fili in oībus opib⁹ tuis.
σεαυτῷ παιδίον ἐν πᾶσι τοῖς ἔργοις σου.
τ eſto eruditus in oī cōuerſatio
καὶ ἴσθι πεπαιδευμένος ἐν πάσῃ ἀναστρο=
ne tua. τ qđ oderis: nemini facias vinū
φῇ σου. καὶ ὃ μισεῖς, μηδενὶ ποιήσῃς. οἶνον
ad ebrietatē ne bibas. τ ne ambulet tecum
εἰς μέθην μὴ πίῃς. καὶ μὴ πορευθήτω μετὰ
ebrietas i via tua. de pane tuo da
σοῦ μέθη ἐν τῇ ὁδῷ σου. ἐκ τοῦ ἄρτου σου δίδου
eſurienti: τ de veſtimētis tuis nu=
πεινῶντι, καὶ ἐκ τῶν ἱματίων σου τοῖς γυμ
dis. de oī quod ſupfuerit tibi: fac ele=
νοῖς. πᾶν ὃ ἐὰν περισσεύσῃ σοι, ποίει ἐλεη
moſynam. τ ne inuideat tu⁹ oculus
μοσύνην. καὶ μὴ φθονησάτω σου ὁ ὀφθαλμὸς
dum feceris elemoſynā. effunde pa=
ἐν τῷ ποιεῖν ἐλεημοσύνην. ἔκχεον τοὺς ἄρ=
nes tuos ſup ſepulturā iuſtorū: τ ne
τους σου ἐπὶ τὸν τάφον τῶν δικαίων, καὶ μὴ
des pctōribus. cōſilium ab
δῷς τοῖς ἁμαρτωλοῖς. συμβουλίαν παρὰ
omni ſapiēte reqre. τ ne deſpici=
παντὸς φρονίμου ζήτησον. καὶ μὴ καταφρονή
as omnino cōſilium vtile. τ
σῃς ἐπὶ παντὸς συμβουλίας χρησίμης. καὶ
in omni tpe bñdic dn̄m: τ ab
ἐν παντὶ καιρῷ εὐλόγει τὸν κύριον, καὶ παρ'
eo pete: vt vie tue recte fiant:
αὐτοῦ αἴτησον, ὅπως αἱ ὁδοί σου εὐθεῖαι γένων
τ oēs ſemite tue τ cōſilia
ται, καὶ πᾶσαι αἱ τρίβοι σου καὶ αἱ βουλαί
tua ꝓſperētur. qm̄ oīs gens nō hꝫ cō=
σου εὐοδωθῶσι. διότι πᾶν ἔθνος οὐκ ἔχει βου
ſilium: ſꝫ ipſe dn̄s dat oīa bo=
λήν, ἀλλ' αὐτὸς ὁ κς δίδωσι πάντα τὰ ἀγα
na. τ quē vult humiliat: ſicut vult.
θά. καὶ ὃν θέλει ταπεινοῖ, καθὼς βούλεται.
τ nunc fili memor eſto ꝑceptorū meorū.
καὶ νῦν παιδίον μνημόνευε τῶν ἐντολῶν μου.
τ ne deleātur de corde tuo.
καὶ μὴ ἐξαλειφθήτωσαν ἐκ τῆς καρδίας σου.
τ nūc indico tibi decē talenta
καὶ νῦν ὑποδεικνύω σοι τὰ δέκα τάλαντα
argenti q̄ dedi gabelo fratri
τοῦ ἀργυρίου ἃ παρεθέμην γαβαήλῳ τῷ

A gabꝛle in rages medie. ⁊ ne
τοῦ γαβρία ἐν ῥάγοις τῆς μηδίας. καὶ μὴ
timeas fili: ꝙ mēdici facti ſumus. ſunt
φοβοῦ παιδίον, ὅτι ἐπτωχεύσαμεν. ὑπάρ
tibi multa: ſi timueris deū: ⁊ receſſe
χει σοι πολλά, ἐὰν φοβῇ τὸν θεόν, καὶ ἀπο
ris ab omni pctō: ⁊ feceris qđ
στῇς ἀπὸ πάσης ἁμαρτίας, καὶ ποιήσῃς τὸ
placitū eſt corā eo.
ἀρεστὸν ἐνώπιον αὐτοῦ. Ca.5.
Et rñdens tobias dixit: pa
Καὶ ἀποκριθεὶς τωβίας εἶπε, πά-
ter faciam omnia q̄cūq; p̄cepiſti mihi.
τερ ποιήσω πάντα ὅσα ἐντέταλσαί μοι.
ſed quō potero accipere pecuniam:
ἀλλὰ πῶς δυνήσομαι λαβεῖν τὸ ἀργύριον,
nō cognoſcēs eū? ⁊ dedit ei chi
B μὴ γινώσκων αὐτόν; καὶ ἔδωκεν αὐτῷ τὸ χει
rographum ⁊ dixit ei: inq̄re tibi
ρόγραφον καὶ εἶπεν αὐτῷ, ζήτησον σεαυτῷ
hoīem q̄ eat tecum: ⁊ da
ἄνθρωπον ὅς συμπορεύσεταί σοι, καὶ δώ
bo ei mercedē dū viuo. ⁊ recipe va
σω αὐτῷ μισθὸν ἕως ζῶ. καὶ λάβε πορευ
dēs pecuniā. ⁊ iuit ad q̄rendū ho-
θεὶς τὸ ἀργύριον. καὶ ἐπορεύθη ζητῆσαι ἄν-
minē. ⁊ īuenit raphaelē q̄ erat angelus:
θρωπον. καὶ εὗρε τὸν ῥαφαὴλ ὅς ἦν ἄγγελος,
⁊ nō cognouit. ⁊ dixit ei: ſi potes
καὶ οὐκ ᾔδει. καὶ εἶπεν αὐτῷ, εἰ δύνασαι
ire mecum in rages medie:
πορευθῆναι μετ' ἐμοῦ ἐν ῥάγοις τῆς μηδίας,
⁊ ſi exptus es locoꝝ: ⁊ dixit e-
C καὶ εἰ ἔμπειρος εἶ τῶν τόπων; καὶ εἶπεν αὐ
i angelus: ibo tecum. ⁊
τῷ ὁ ἄγγελος, πορεύσομαι μετὰ σοῦ. καὶ
apud gabelum fratrē noſtrū moratꝰ ſū.
παρὰ γαβαὴλ τὸν ἀδελφὸν ἡμῶν ηὐλίσθην.
et dixit ei tobias: ſuſtine me: ⁊
καὶ εἶπεν αὐτῷ τωβίας, ὑπόμεινόν με, καὶ
dicā patri meo. ⁊ dixit ei: vade
ἐρῶ τῷ πατρί μου. καὶ εἶπεν αὐτῷ, πορεύου
⁊ ne moꝛeris. ⁊ ingreſſus dixit pa
καὶ μὴ χρονίσῃς. καὶ εἰσελθὼν εἶπε τῷ πα
tri: ecce inueni q̄ ibit mecū. ille aūt
τρί, ἰδοὺ εὕρηκα ὅς συμπορεύσεταί μοι. ὁ δὲ
dixit: voca eū ad me: vt cognoſcā
εἶπε, φώνησον αὐτὸν πρός με, ἵνα ἐπιγνῶ
cuius tribus eſt: ⁊ ſi fidelis eſt ad e
D ποίας φυλῆς ἐστι, καὶ εἰ πιστός ἐστι τοῦ πο
undū tecum. ⁊ vocauit eū: ⁊
ρευθῆναι μετὰ σοῦ. καὶ ἐκάλεσεν αὐτόν, καὶ
īgreſſus ē: ⁊ ſalutauerūt ſe inuicem. et di
εἰσῆλθε, καὶ ἠσπάσαντο ἀλλήλους. καὶ εἶ-
xit ei tobias: frater de qua tri-
πεν αὐτῷ τωβήτ, ἀδελφὲ ἐκ ποίας φυ-
bu et de qua familia tu es? oſten
λῆς καὶ ἐκ ποίας πατριᾶς σὺ εἶ; ὑπόδει
de mihi. et dixit ei: tribum et familiā
ξόν μοι. καὶ εἶπεν αὐτῷ, φυλὴν καὶ πατριὰν
tu reqris: an mercenariū q̄ eat cum
σὺ ζητεῖς, ἢ μίσθιον ὅς συμπορεύσεται με
filio tuo? et dixit ei tobias: vo
τὰ τοῦ υἱοῦ σου; καὶ εἶπεν αὐτῷ τωβήτ, βού
lo frater cognoſcere genꝰ tuū et
λομαι ἀδελφὲ ἐπιγνῶναι τὸ γένος σου καὶ
nomen. ille aūt dixit: ego de gñe azarie et
τὸ ὄνομα. ὁ δὲ εἶπεν, ἐγὼ τὸ γένος ἀζαρίου καὶ
ananie magni et fratris tui. et
A ἀνανίου τοῦ μεγάλου καὶ ἀδελφοῦ σου. καὶ
dixit tobias: ſanus venias frater: ⁊ ne
εἶπε τωβήτ, ὑγιαίνων ἔλθοις ἀδελφέ, καὶ μὴ

Tūc rñdit tobias pr̄i ſuo: & di-
xit. oīa q̄cūq; p̄cepiſti mihi faci
am pr̄. Quō aūt pecuniā hāc reqrā
ignoro. Ille me neſcit: & ego eū ig-
noro. qđ ſignū dabo ei? Sꝫ neq; viā
p̄ quā pgatur illuc aliqñ cognoui.
Tūc pr̄ ſuus rñdit illi & dixit. Chiro
graphū qdeꝫ illius apud me hēo. qđ
dū illi oñderis ſtatī reſtituet. Sꝫ pge
nūc & īquire tibi aliquē fidelē virū
qui eat tecū ſalua mercede ſua duꝫ
adhuc viuo: vt recipias eā. Tūc egreſ
ſus tobias īuenit iuuenē ſplendidū
ſtātem p̄cinctū & q̄ſi patū ad ābulā
dum. Et ignorās ꝙ angelꝰ dei eſſet
ſalutauit eum & dixit. Vñ te hēmus
bone iuuenis? At ille rñdit. Ex filiis
iſrl̄. Et tobias dixit ei. Noſti viā que
ducit ī regiōem medorū? Cui rñdit.
noui & oīa itinera eius frequent̄ am
bulaui: & māſi apud gabelū fratrem
nr̄ꝫ qui moratur ī rages ciuitate me
dorū que poſita eſt ī mōte egbatha
nis. Cui tobias ait. Suſtine me obſe
cro donec hec ip̄a nūciem pr̄i meo.
Tūc igreſſus tobias īdicauit vniuer
ſa hec pr̄i ſuo. Sup̄ que āmiratus pr̄:
rogauit vt ītroiret ad eū. Ingreſſus
itaq; ſalutauit eū & dixit. Gaudiū ti
bi ſit ſp̄. Et ait tobias. q̄le gaudiū mi
hi erit q ī tenebris ſedeo & lumē ce
li nō video? Cui ait iuuenis. Forti aīo
eſto in p̄xīo eſt vt a deo cureris. Di-
xit itaq; illi tobias. Nūquid poteris
p̄ducere filiū meū ad gabelū ī rages
ciuitatem medorū? Et cum redieris
reſtituā tibi mercedem tuā. Et dixit
ei angelus. Ego ducā & reducā eum
ad te. Cui tobias rñdit. rogo te: indi
ca mihi de q̄ domo aut de q̄ tribu es
tu. Cui raphael angelꝰ dixit. Genus
queris mercenarii an ip̄m mercena
rium qui cū filio tuo eat? Sꝫ ne forte
ſollicitum te reddā: ego ſum azarias
ananie magni filiꝰ. Et tobias rñdit.
Ex magno gñe es tu. ſꝫ peto ne ira-
ſcaris ꝙ voluerī cognoſcere genus
tuum. Dixit āt illi angelus. Ego ſa-
num ducā & ſanum tibi reducā filiū
tuum. Rñdens āt tobias ait. Bñ ābu
letis & ſit dñs in itinere vr̄o & ange
lus eius comitetur vobiſcum. Tunc
p̄atis oībus que erāt ī via portāda: fe
cit tobias vale pr̄i ſuo & matri ſue:
& ābulauerūt ambo ſil̄. Cunq; p̄fecti
eſſent cepit mat̄ eius flere & dicere.
Baculuꝫ ſenectutis nr̄e tuliſti & trāſ
miſiſti a nobis. Nunq̄ fuiſſet ip̄a pe
cunia p̄ q̄ miſiſti eum. ſufficiebat no
bis pauptas nr̄a vt diuitias cōputa-
remus hoc: ꝙ videbamus filiuꝫ nr̄ꝫ.
Dixitq; ei tobias noli flere. ſaluus p-
ueniet filius nr̄ & ſaluus reuertetur
ad nos & oculi tui videbunt illuꝫ. cre
do. n. ꝙ āgelus dei bonus comitetur
ei: & bñ diſponat oīa que circa eum
geruntur: ita vt cum gaudio reuer-
tatur ad nos. Ad hanc vocem ceſſa-
uit mr̄ eius flere & tacuit. Ca.6.
Profectꝰ ē āt tob. & canis ſecutꝰ
eſt eū: et māſit pria māſiōe iuxta flu
uiū tigris. et exiuit vt lauaret pedes

mihi iraſcaris: q̄a q̄ſiui tribum tuam ⁊
μοι ὀργισθῇς, ὅτι ἐζήτησα τὴν φυλήν σου καὶ
familiā tuā cognoſcere. et tu es
τὴν πατριάν σου ἐπιγνῶναι. καὶ σὺ τυγχάνεις
frater meus de honeſta ⁊ bona gñatiōe.
ἀδελφός μου ἐκ τῆς καλῆς καὶ ἀγαθῆς γενεᾶς
cognoſco .n. ananiam ⁊ ionathā fi-
ἐπιγινώσκω γὰρ ἀνανίαν καὶ ἰωναθὰν τοὺς υἱ
lios ſamie magni. qm̄ iuimus ſi-
οὺς σαμίου τοῦ μεγάλου. ὡς ἐπορευόμεθα κοινῶς
in hieruſalē ad adorādū: offerētes primi-
εἰς ἱλῆμ προσκυνεῖν, ἀναφέροντες τὰ πρωτό
tiua ⁊ decimas fetuum. ⁊ nō
τοκα καὶ τὰς δεκάτας τῶν γενημάτων. καὶ οὐκ
errauerunt erroꝛe fratruꝫ noſtroꝝ.
ἐπλανήθησαν τῇ πλάνῃ τῶν ἀδελφῶν ἡμῶν.
e radice magna es frater. ſed dic q̄
ἐκ ῥίζης μεγάλης εἶ ἀδελφέ. ἀλλὰ εἰπόν τί
tibi ero mercedē daturus: drachmā
να σοι ἔσομαι μισθὸν διδόναι, δραχμὴν τῆς
in die ⁊ neceſſaria ſicut ⁊ filio meo. ⁊
ἡμέρας καὶ τὰ δέοντα ὡς καὶ τῷ υἱῷ μου. καὶ
inſup addā tibi ſupꝛa mercedē: ſi ſa-
ἔτι προσθήσω σοι ἐπὶ τὸν μισθόν, ἐὰν ὑγιαί-
ni reuerſi fueritis. ⁊ cōplacuit eis ſic.
νοντες ἐπιστρέψητε. καὶ εὐδόκησαν οὕτως.
⁊ dixit ad tobiā: paratus ſis in
καὶ εἶπε πρὸς τωβίαν, ἕτοιμος γίνου εἰς τὴν ὁ
viā ⁊ p̄ſperemini. ⁊ pauit filius eiꝰ
δὸν καὶ εὐοδωθείητε. καὶ ἡτοίμασεν ὁ υἱὸς αὐτοῦ
q̄ ad viā. ⁊ dixit ei pater eius:
τὰ πρὸς τὴν ὁδόν. καὶ εἶπεν αὐτῷ ὁ πατὴρ αὐτοῦ,
vade cū hoīe hoc. ⁊ in ce-
πορεύου μετὰ τοῦ ἀνθρώπου τούτου. ὁ δὲ ἐν τῷ οὐρα
lo hītans deꝰ p̄ſperet viā veſtrā. ⁊
νῷ κατοικῶν θεὸς εὐοδώσει τὴν ὁδὸν ὑμῶν. καὶ ὁ
angelus dei eat vobiſcum. ⁊ exie
ἄγγελος τοῦ θεοῦ συμπορευθήτω ὑμῖν. καὶ ἐξῆλ
runt ambo vt p̄ficiſcerēt: ⁊ canis pue-
θον ἀμφότεροι ἀπελθεῖν, καὶ ὁ κύων τοῦ παι-
ri cum eis. fleuit āt anna mater
δαρίου μετ' αὐτῶν. ἔκλαυσε δὲ ἄννα ἡ μήτηρ
eius: ⁊ dixit ad tobiam: qđ miſiſti
αὐτοῦ, καὶ εἶπε πρὸς τωβήτ, τί ἐξαπέστειλας
puerulum noſtꝝ: nōne baculus manus
τὸ παιδίον ἡμῶν; οὐχὶ ῥάβδος τῆς χειρὸς ἡ
noſtre ē dum ingreditur ip̄e ⁊ egre
μῶν ἐστιν ἐν τῷ εἰσπορεύεσθαι αὐτὸν καὶ ἐκπο
ditur coꝛam nobis? argentum argentū
ρεύεσθαι ἐνώπιον ἡμῶν; ἀργύριον τῷ ἀργυρίῳ
vtinā nō p̄ceſſiſſet: ſꝫ reliq̄e filii no-
μὴ φθάσαι, ἀλλὰ περίψημα τοῦ παιδίου ἡ-
ſtri fiat. ſicut .n. datum ē nobis viuere a
μῶν γένοιτο. ὡς γὰρ δέδοται ἡμῖν ζῆν παρὰ τοῦ
dño: hoc ſufficiēs nobis eſt. ⁊ dixit
κυ, τοῦτο ἱκανὸν ἡμῖν ὑπάρχει. καὶ εἶπεν
ei tobias: ne curā hēas ſoroꝛ. ſaluus
αὐτῇ τωβήτ, μὴ λόγον ἔχε ἀδελφή. ὑγιαίνων
p̄ueniet: ⁊ oculi tui videbunt euꝫ.
ἐλεύσεται, καὶ οἱ ὀφθαλμοί σου ὄψονται αὐτόν.
angelus enī bonus ibit cum eo.
ἄγγελος γὰρ ἀγαθὸς συμπορεύσεται αὐτῷ.
⁊ p̄ſperabitur via eius: ⁊ reuertetur
καὶ εὐοδωθήσεται ἡ ὁδὸς αὐτοῦ, καὶ ὑποστρέψει
ſaluus. ⁊ ceſſauit flere.
ὑγιαίνων. καὶ ἐπαύσατο κλαίουσα. Ca.6.
Illi āt euntes viam: venerunt ve
Οἱ δὲ πορευόμενοι τὴν ὁδόν, ἦλθον ἑσπέ
ſpere ad tigrim fluuiū. ⁊ māſerunt
ρας ἐπὶ τὸν τίγρην ποταμόν. καὶ ηὐλίζοντο
ibi. at puer deſcēdit vt laua
ἐκεῖ. τὸ δὲ παιδάριον κατέβη περικλύ-

© Biblioteca Nacional de España

retur et ſaltauit piſcis de
σαδαι. καὶ ἀνεπήδησεν ἰχθὺς ἀπὸ τοῦ
fluuio: ⁊ voluit deuorare pue
ποταμοῦ, καὶ ἐβουλήθη καταπιεῖν τὸ παι
rum. at angelus dixit ei: appre
δάριον. ὁ δὲ ἄγγελος εἶπεν αὐτῷ, ἐπιλα-
hēde piſcem. ⁊ tenuit piſcem
βοῦ τοῦ ἰχθύος. καὶ ἐκράτησε τὸν ἰχθὺν
puer: ⁊ proiecit eum in
τὸ παιδάριον, καὶ ἀνέβαλεν αὐτὸν ἐπὶ
terram. ⁊ dixit ei angelus: inci-
τὴν γῆν. καὶ εἶπεν αὐτῷ ὁ ἄγγελος, ἀνάτε
de piſcē. ⁊ accipiens cor ⁊
με τὸν ἰχθύν. καὶ λαβὼν τὴν καρδίαν καὶ τὸ
iecur ⁊ fel: repone ſecure. ⁊ fe
ἧπαρ καὶ τὴν χολήν, θὲς ἀσφαλῶς. καὶ ἐ
cit puer: ſicut dixit ei an-
ποίησε τὸ παιδάριον, ὡς εἶπεν αὐτῷ ὁ ἄγ
gelus. piſcē aūt aſſantes comederūt. ⁊
γελος. τὸν δὲ ἰχθὺν ὀπτήσαντες ἔφαγον. καὶ
pergebāt ambo quouſq̄ appropiquerūt ecba
ὥδευον ἀμφότεροι ἕως οὗ ἤγγισαν ἐκβατά
tanis. ⁊ dixit puer angelo: aza
νοις. καὶ εἶπε τὸ παιδάριον τῷ ἀγγέλῳ, ἀζα
ria frater qd eſt cor ⁊ iecur ⁊
ρία ἀδελφὲ τί ἐστιν ἡ καρδία καὶ τὸ ἧπαρ καὶ
fel piſcis? ⁊ dixit ei: cor
ἡ χολὴ τοῦ ἰχθύος; καὶ εἶπεν αὐτῷ, ἡ καρδία
⁊ iecur ſi aliquē pturbat demoniū aut ſpi
καὶ τὸ ἧπαρ ἐάν τινα ὀχλῇ δαιμόνιον ἢ πνεῦ
rit⁹ neq̄: fac fumigare hec coram vi-
μα πονηρόν, καπνίσαι ταῦτα ἐνώπιον ἀν
ro aut muliere ⁊ non pturbabiť ampli⁹. fel
δρὸς ἢ γυναικὸς καὶ οὐ μὴ ὀχληθῇ ἔτι. τὴν χο
le vnge hoīem q̄ hab𝔷 albugi
λὴν ἐγχρίσαι ἄνθρωπον ὃς ἔχει λευκώμα
nes in oculis: ⁊ ſanabitur. cū aūt ap
τα ἐν τοῖς ὀφθαλμοῖς, καὶ ἰαθήσεται. ὡς δὲ προ
propiquaſſēt rages: dixit angelus pue
σήγγισαν τῇ ῥάγῃ, εἶπεν ὁ ἄγγελος τῷ παι
ro: frater hodie manebimus a-
δαρίῳ, ἀδελφὲ σήμερον αὐλισθησόμεθα πα
pud raguel: ⁊ ipſe cognatus tuus eſt. ⁊
ρὰ ῥαγουήλ, καὶ αὐτὸς συγγενής σου ἐστί. καὶ
eſt ei filia vnigenita nomine ſar-
ἐστιν αὐτῷ θυγάτηρ μονογενὴς ὀνόματι σάρ
ra. loquar p̄ ea vt detur tibi
ρα. λαλήσω περὶ αὐτῆς τοῦ δοθῆναί σοι
ipſa in vxorē. q̄a ad te attinet
αὐτὴν εἰς γυναῖκα. ὅτι σοὶ ἐπιβάλλει ἡ
hereditas eius. ⁊ tu ſol⁹ es de ge-
κληρονομία αὐτῆς. καὶ σὺ μόνος εἶ ἐκ τοῦ γέ
nere eius. ⁊ puella formoſa ⁊ pru
νους αὐτῆς. καὶ τὸ κοράσιον καλὸν καὶ φρό
dens eſt. ⁊ nunc audi me ⁊ loquar
νιμόν ἐστι. καὶ νῦν ἄκουσόν μου καὶ λαλήσω
patri eius. ⁊ qñ reuerſi fuerim⁹
τῷ πατρὶ αὐτῆς. καὶ ὅταν ἐπιστρέψωμεν
de rages: faciemus nuptias. q̄a ſcio
ἐκ ῥαγῶν, ποιήσομεν τὸν γάμον. διότι ἐπί
raguelē: q̄ non dabit eam viro
σταμαι ῥαγουήλ, ὅτι οὐ μὴ δώῃ αὐτὴν ἀνδρὶ
alteri ſecundū legē moyſi: vel reus erit
ἑτέρῳ κατὰ τὸν νόμον μωυσῆ, ἢ ὀφειλήσει
mortis. q̄a hereditatem te oportet
θάνατον. ὅτι τὴν κληρονομίαν σοὶ καθήκει
accipere: aut oēm hoīem. tunc dixit
λαβεῖν, ἢ πάντα ἄνθρωπον. τότε εἶπε τὸ
puer angelo: azaria frater
παιδάριον τῷ ἀγγέλῳ, ἀζαρία ἀδελφὲ
audiui ego puellā datā fuiſſe ſeptē
ἀκήκοα ἐγὼ τὸ κοράσιον δεδόσθαι ἑπτὰ

ſuos & ecce piſcis immanis exiuit ad deuorandum eum. Quē expaueſcens tobias clamauit voce magna dicēs. Dñe iuadit me. Et dixit ei angelus. Apprehende brāchiam eius: & trahe eum ad te. Quod cu𝔷 feciſſet: attraxit eum in ſiccu𝔷 & palpitare cepit ante pedes eius. Tunc dixit ei angelus. Exentera hunc piſcem: & cor eius & fel & iecur repōe tibi. Sunt enim hęc neceſſaria ad medicamenta vtiliter. Quod cū feciſſet: aſſauit carnes eius & ſecum ſuſtulerunt in via: cętera ſalierunt quę ſufficerent eis quouſq̄ peruenirent in rages ciuitatem medorum. Tunc īterrogauit Tobias angelum & dixit ei. Obſecro te azaria frater vt dicas mihi quod remedium habebunt iſta que de piſce ſeruare iuſſiſti. Et reſpōdēs angelus dixit ei. Cordis ei⁹ particulam ſi ſuper carbones ponas: fumus eius extricat omne genus demoniorum ſiue a viro ſiue a muliere: ita vt vltra non accedat ad eos. Et fel valet ad vngendos oculos ī quibus fuerit albugo: & ſanabūtur. Et dixit ei tobias. Vbi vis vt maneamus? Rñdēſq̄ angelus ait. Et hic Raguel noīe vir p̄piquus de tribu tua: & hic habet filiā noīe ſarā ſ𝔷 neq̄ maſculū neq̄ feminā vllā h𝔷 aliā p̄ter eā. Tibi debetur oīs ſubſtātia eius & opt𝔷 eā te accipe cōiugē. Pete ergo eā a p̄re eius: & dabit tibi eā ī vxorem. Tūc rñdit tobias & dixit. Audio quia tradita eſt ſeptē uiris & mortui ſunt: ſed & hoc audiui q̄a demoniū occidit illos. Timeo ergo ne forte & mihi hęc eueniant: & cū ſim vnicus p̄entib⁹ meis deponā ſenectutem illorū cū triſticia ad īferos. Tunc angelus Raphael dixit ei. Audi me: & oſtendam tibi qui ſunt quibus prævalere poteſt demonium. Hi nanq̄ qui coniugium ita ſuſcipiunt vt deum a ſe & a ſua mente excutiant: & ſuæ libidini ita vacent ſicut equus & mulus quibus non eſt intellectus: habet p̄tātem demoniū ſuper eos. Tu aūt cum acceperis eam: ingreſſus cubiculu𝔷 per tres dies continens eſto ab ea: & nihil aliud niſi orationibus vacabis cum ea. Ipſa autem nocte incenſo iecore piſcis fugabitur demonium. Secunda vero nocte in copulatiōe ſanctorum patriarcharum admitteris. Tertia autem nocte benedictionem conſequeris vt filii ex vobis p̄creentur incolumes. Tranſacta autem tertia nocte accipies virginem cum timore domini: amore filiorū magis q̄𝔷 libidinis ductus: vt in ſemine Abrae benedictionem in filiis conſequaris.

Cap̄. 7.

Ingreſſi ſunt autem ad Raguelem: & ſuſcepit eos raguel cum gaudio. Intuenſq̄ Tobiam Raguel

viris: ⁊ oēs in cubiculo mor
ἀνδράσι, καὶ πάντας ἐν τῷ νυμφῶνι ἀπο
tuos eſſe. ⁊ nūc ego ſolus ſum pa
λωλότας. καὶ νῦν ἐγὼ μόνος εἰμὶ τῷ πα
tri. ⁊ timeo ne ingreſſus moriar:
τρί. καὶ φοβοῦμαι μὴ εἰσελθὼν ἀποθάνω,
ſicut ⁊ q̄ pri⁹. qm̄ demoniū a-
καθὼς καὶ οἱ πρότερον. ὅτι δαιμόνιον φι-
mat ipſam: qd̄ nō iniuria afficit quēq̄ p̄ter B
λεῖ αὐτήν, ὃ οὐκ ἀδικεῖ οὐδένα πλὴν τῶν
accedētes ad eā. ⁊ nūc ego timeo ne
προσαγόντων αὐτῇ. καὶ νῦν ἐγὼ φοβοῦμαι μὴ
moriar: ⁊ deducā vitam patris
ἀποθάνω, καὶ κατάξω τὴν ζωὴν τοῦ πρός
mei ⁊ matris mee cū dolore ſup
μου καὶ τῆς μητρός μου μετ᾽ ὀδύνης ἐπ᾽
me in ſepulchrū eorū. ⁊ filius alius
ἐμοὶ εἰς τὸν τάφον αὐτῶν. καὶ υἱὸς ἕτερος
non eſt, eis: q̄ ſepeliat eos.
οὐχ ὑπάρχει αὐτοῖς, ὃς θάψει αὐτούς.
dixit aūt ei angelus: nō es memor
εἶπε δὲ αὐτῷ ὁ ἄγγελος, οὐ μέμνησαι τῶν
ſermonū quos p̄cepit tibi pater tuus
λόγων ὧν ἐνετείλατό σοι ὁ πατήρ σου
ſuper accipiēda tibi vxore de ge- C
ὑπὲρ τοῦ λαβεῖν σε γυναῖκα ἐκ τοῦ γέ-
nere tuo? ⁊ nūc audi me frater: q̄a
νους σου; καὶ νῦν ἄκουσόν μου ἀδελφέ, διό
tibi erit in vxorē. ⁊ demo
τι σοὶ ἔσται εἰς γυναῖκα. καὶ τοῦ δαιμο-
nii nullā rōnem habe: q̄a nocte hac
νίου μηδένα λόγον ἔχε, ὅτι τὴν νύκτα ταύ
dabitur tibi ipſa in vxorem. ⁊
την δοθήσεταί σοι αὐτὴ εἰς γυναῖκα. καὶ
ſi igreſſus fueris ad cubiculū: ſumes cine
ἐὰν εἰσέλθῃς εἰς τὸν νυμφῶνα, λήψῃ τέφ-
rē incenſuum: ⁊ impones de
ραν θυμιαμάτων, καὶ ἐπιθήσεις ἀπὸ τῆς
corde piſcis ⁊ iecore ⁊
καρδίας τοῦ ἰχθύος καὶ τοῦ ἥπατος καὶ
facies fumigare. ⁊ odorabit demoniū
καπνίσεις. καὶ ὀσφρανθήσεται τὸ δαιμόνιον
⁊ fugiet ⁊ nō ampli⁹ redibit in D
καὶ φεύξεται καὶ οὐκέτι ἐπανελεύσεται εἰς
ſeculū ſeculi. qñ aūt acceſſeris ad
τὸν αἰῶνα τοῦ αἰῶνος. ὅταν δὲ προσπορεύῃ αὐ
eā: ſurgite ambo ⁊ clamate ad
τῇ, ἐγέρθητε ἀμφότεροι καὶ βοήσατε πρὸς
miſericordē deū: ⁊ ſaluabit vos ⁊ miſe- p̄s.51.
τὸν ἐλεήμονα θεόν, καὶ σώσει ὑμᾶς καὶ ἐλεή
rebiť. ne timeas: qm̄ tibi hec parata erat
σει. μὴ φοβοῦ, ὅτι σοὶ αὐτὴ ἡτοιμασμένη ἦν
a ſeculo. ⁊ tu eā ſaluabis. ⁊
ἀπὸ τοῦ αἰῶνος. καὶ σὺ αὐτὴν σώσεις. καὶ
ibit tecum ⁊ exiſti
πορεύσεται μετὰ σοῦ. καὶ ὑπολαμβά-
mo q̄ tibi erunt ex ea filii. ⁊
νω ὅτι σοὶ ἔσται ἐξ αὐτῆς παιδία. καὶ
vt audiuit tobias hec: dilexit e-
ὡς ἤκουσε τωβίας ταῦτα, ἐφίλησεν αὐ-
am: ⁊ aīa eius adheſit ei
τήν, καὶ ἡ ψυχὴ αὐτοῦ ἐκεκόλλητο αὐτῇ
valde. ⁊ venerūt in ecbatana.
σφόδρα. καὶ ἦλθον εἰς ἐκβάτανα. Ca. 7.

Et venerunt in domū ra
Καὶ παρεγένοντο εἰς τὴν οἰκίαν ῥα-
guelis. ſarra vero obuiā exiit eis: ⁊ ſalu-
γουήλ. σάρρα δὲ ὑπήντησεν αὐτοῖς, καὶ ἐχαι
tauit eos: ⁊ ipſi illam. ⁊ intro A
ρέτισεν αὐτούς, καὶ αὐτοὶ αὐτήν. καὶ εἰσή
duxit eos in domū. ⁊ dixit ra
γαγεν αὐτοὺς εἰς τὴν οἰκίαν. καὶ εἶπε ῥα

© Biblioteca Nacional de España

guel edne vxori ſue: ꝙ ſimilis
γουὴλ ἔδνα τῇ γυναικὶ αὐτοῦ, ὡς ὅμοιος ὁ
iuuenis tobie cōſobrino meo. ⁊
νεανίσκος τωβὴτ τῷ ἀνεψιῷ μου. καὶ
interrogauit eos raguel: vnde eſtis fra
ἠρώτησεν αὐτοὺς ῥαγουὴλ, πόθεν ἐστὲ ἀδελ
tres:⁊ dixerūt ei: ex filiis nephthalim
φοί; καὶ εἶπεν αὐτῷ, ἐκ τῶν υἱῶν νεφθαλεὶμ
B captiuis in niniue. ⁊ dixit e=
τῶν αἰχμαλώτων ἐν νινευί. καὶ εἶπεν αὐ=
is: noſtis tobiam fratrem noſtrū:
τοῖς, γινώσκετε τωβὴτ τὸν ἀδελφὸν ἡμῶν;
illi aūt dixerūt: nouimus. ⁊ dixit e=
9.c. οἱ δὲ εἶπον, γινώσκομεν. καὶ εἶπεν αὐ=
is: ſanus eſt: illi vero dixerūt: ⁊ viuit ⁊ ſanus
τοῖς, ὑγιαίνει; οἱ δὲ εἶπον, καὶ ζῇ καὶ ὑγιαί
eſt. ⁊ dixit tobias: pater meus eſt. ⁊
νει. καὶ εἶπε τωβίας, πατήρ μου ἐστί. καὶ
exiliit raguel ⁊ oſculatus eſt e=
ἀνεπήδησε ῥαγουὴλ καὶ κατεφίλησεν αὐ
um ⁊ fleuit. ⁊ benedixit eum ⁊
τὸν καὶ ἔκλαυσε. καὶ εὐλόγησεν αὐτὸν καὶ
C dixit ei: honeſti mei ⁊ boni
εἶπεν αὐτῷ, ὁ τοῦ καλοῦ μου καὶ ἀγαθοῦ
hois filius. ⁊ audiens ꝙ tobias
ἀνθρώπου υἱός. καὶ ἀκούσας ὅτι τωβὴτ
perdidit oculos ſuos: cōtriſtat⁹ ē
ἀπώλεσε τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐλυπήθη
⁊ fleuit. ⁊ edna vxor eius ⁊ ſar=
καὶ ἔκλαυσε. καὶ ἔδνα ἡ γυνὴ αὐτοῦ καὶ σάῤ
ra filia eius lachrymate ſūt. ⁊ ſuſce=
ῥα ἡ θυγάτηρ αὐτοῦ ἔκλαυσαν. καὶ ὑπεδέ
perunt eos alacriter. ⁊ occiderūt arietē
ξαντο αὐτοὺς προθύμως. καὶ ἔθυσαν κριὸν
D
nu.39. ouium. ⁊ parauerunt cibaria multa. di
προβάτων. καὶ παρέθηκαν ὄψα πολλά. εἶ=
xit aūt tobias raphaeli: azaria frater
πε δὲ τωβίας τῷ ῥαφαὴλ, ἀζαρία ἀδελφὲ
loquere de iis q̄ dicebas in via: ⁊
λάλησον ὑπὲρ ὧν ἔλεγες ἐν τῇ πορείᾳ, καὶ
ꝑficiatur negociū. ⁊ cōmunicauit
τελεσθήτω τὸ πρᾶγμα. καὶ μετέδωκε τὸν
ſermonem ragueli. ⁊ dixit raguel ad
λόγον τῷ ῥαγουήλ. καὶ εἶπε ῥαγουὴλ πρὸς
tobiā: māduca ⁊ bibe ⁊ hilaris
τωβίαν, φάγε καὶ πίε καὶ ἡδέως γε=
ſis. te oportet filiam meā accipere.
νοῦ. σοὶ καθήκει τὸ παιδίον μου λαβεῖν.
verūtamē oſtēdam tibi veritatem. de
πλὴν ὑποδείξω σοι τὴν ἀλήθειαν. ἔδω=
di filiam meam ſeptem vi=
κα τὸ παιδίον μου ἑπτὰ ἀνδρά=
ris: ⁊ quō ingreſſi ſunt ad
σιν, καὶ ὁπότε ἂν εἰσεπορεύοντο πρὸς
eam: mortui ſunt in nocte. ſed
αὐτήν, ἀπέθνησκον ὑπὸ τὴν νύκτα. ἀλλὰ
impreſentiarū hilaris ſis. ⁊ dixit tobias:
τὸ νῦν ἔχον ἡδέως γίνου. καὶ εἶπε τωβίας,
nō guſtabo ꝗcꝙ̄ hic: quouſqꝫ ſtetis ⁊
οὐ γεύσομαι οὐδὲν ὧδε, ἕως ἂν στήσητε καὶ
ſtatuatis ante me. ⁊ dixit raguel: curā habe
στάθητε πρός με. καὶ εἶπε ῥαγουήλ, κόμιζου
eius ex nūc ſecundū iudicium. tu
